Φθόγγον ἀραῖον οἴκοις,
Βίᾳ χαλινῶν τ' ἀναύδῳ μένει. στρ. ζ'.
Κρόκου βαφὰς ἐς πέδον χέουσα
Ἔβαλλ' ἕκαστον θυτήρων
Ἀπ' ὄμματος βέλει φιλοίκτῳ,
Πρέπουσά θ' ὡς ἐν γραφαῖς προσεννέπειν θέλουσ'
Ἐπεὶ πολλάκις
Πατρὸς κατ' ἀνδρῶνας εὐτραπέζους
Ἔμελψεν, ἁγνὰ δ' ἀταύρωτος αὐδᾷ πατρὸς
Φίλου τριτόσπονδον εὔποτμον
Αἰῶνα φίλως ἐτίμα.
Τὰ δ' ἔνθεν οὔτ' εἶδον οὔτ' ἐννέπω· ἀντ. ζ'.
Τέχναι δὲ Κάλχαντος οὐκ ἄκραντοι.
Δίκα δὲ τοῖς μὲν παθοῦσι
Μαθεῖν ἐπιῤῥέπει τὸ μέλλον.
Τὸ (δὲ) προκλύειν, εἴπερ οὔ πω γένοιτ' ἂν ἔκλυσις,
προχαιρέτω·
Ἴσον δὲ τῷ προστένειν.
Τορὸν γὰρ ἥξει σύνορθρον αὐγαῖς.
Πέλοιτο δ' οὖν τἀπὶ τούτοισιν εὔπραξις, ὡς
Θέλει τόδ' ἄγχιστον Ἀπίας
Γαίας μονόφρουρον ἕρκος.

Ἥκω σεβίζων σὸν, Κλυταιμνήστρα, κράτος·
Δίκη γάρ ἐστι φωτὸς ἀρχηγοῦ τίειν
Γυναῖκ' ἐρημωθέντος ἄρσενος θρόνου.
Σὺ δ' εἴτε κεδνὸν εἴτε μὴ πεπυσμένη
Εὐαγγέλοισιν ἐλπίσιν θυηπολεῖς,
Κλύοιμ' ἂν εὔφρων· οὐδὲ σιγώσῃ φθόνος.

---

184. v. οἴκοις 185. ἀναύδων 186. v. βαφὰς δ' 187. v. ἔβαλ' (ἔβαν) 192. ἔμελλεν = ἔμελθεν — v. ἔμελψεν. (αὐδὰ) f. ἁγνᾷ 193. (εὔποτον = εὐπόταμον) f. εὐπότμων 196. (ἄγρ. = ἄκραντοι) 197. MSS. (δίκα δύς) — f. δίκᾳ. 199. MSS. ἐπεὶ γένοιτ' = ἐπὶ γ. — ἡ λύσις = ἂν κλύοις — (τό δὲ προκλύειν om.) 201. σύνορθον (..αρθρον) = σὺν ὀρθὸν — MSS. αὐταῖς = αὐταῖς 202. τούτοις — f. εὖ πρᾶξις 205. v. ΑΓΓΕΛΟΣ (= ΦΥΛΑΞ). 207. ἀρσένου 208. εἴ τι 210. ΚΛΥ-ΤΑΙΜΝ.